# PRAEFATIO.

## LYSIAE VITA EX VITIS X ORATORUM.

*Λυσίας* υἱὸς ἦν Κεφάλου τοῦ *Λυσανίου* τοῦ Κεφάλου, Συ- 835
ρακουσίου μὲν γένος, μεταναστάντος δ' εἰς Ἀθήνας ἐπιθυμίᾳ C
τε τῆς πόλεως καὶ Περικλέους τοῦ Ξανθίππου πείσαντος αὐτὸν
φίλον ὄντα καὶ ξένον, πλούτῳ διαφέροντα, ὡς δέ τινες, ἐκπε-
σόντα τῶν Συρακουσῶν, ἡνίκα ὑπὸ Γέλωνος ἐτυραννοῦντο.
γενόμενος ⟨δ'⟩ Ἀθήνησιν ἐπὶ Φιλοκλέους ἄρχοντος τοῦ μετὰ 459/8
Φρασικλῆ κατὰ τὸ δεύτερον ἔτος τῆς ὀγδοηκοστῆς [καὶ δευτέ-
ρας] ὀλυμπιάδος τὸ μὲν πρῶτον συνεπαιδεύετο τοῖς ἐπιφανε-
στάτοις Ἀθηναίων· ἐπεὶ δὲ τὴν εἰς Σύβαριν ἀποικίαν τὴν ὕστε- D
ρον Θουρίους μετονομασθεῖσαν ἔστελλεν ἡ πόλις, ᾤχετο σὺν
τῷ πρεσβυτάτῳ ἀδελφῶν Πολεμάρχῳ (ἦσαν γὰρ αὐτῷ καὶ ἄλλοι
δύο, Εὐθύδημος καὶ Βράχυλλος), τοῦ πατρὸς ἤδη τετελευτη-
κότος, ὡς κοινωνήσων τοῦ κλήρου, ἔτη γεγονὼς πεντεκαίδεκα,
ἐπὶ Πραξιτέλους ἄρχοντος, κἀκεῖ διέμεινε παιδευόμενος παρὰ 444/3
Τεισίᾳ καὶ Νικίᾳ τοῖς Συρακουσίοις, κτησάμενός τ' οἰκίαν καὶ
κλήρου τυχὼν ἐπολιτεύσατο ἕως Κλεοκρίτου τοῦ Ἀθήνησιν ἄρ- 413/2
χοντος ἔτη ἑξήκοντα τρία. τῷ δ' ἑξῆς ἐνιαυτῷ ὀλυμπιάδι ἐνε-
νηκοστῇ δευτέρᾳ τῶν κατὰ Σικελίαν συμβάντων Ἀθηναίοις καὶ E
κινήσεως γενομένης τῶν τ' ἄλλων συμμάχων καὶ μάλιστα τῶν
τὴν Ἰταλίαν οἰκούντων, αἰτιαθεὶς ἀττικίζειν ἐξέπεσε μετ' ἄλλων
τριακοσίων. παραγενόμενος δ' Ἀθήνησιν ἐπὶ Καλλίου τοῦ μετὰ 412/11
Κλεόκριτον ἄρχοντος, ἤδη τῶν τετρακοσίων κατεχόντων τὴν πό-
λιν, διέτριβεν αὐτόθι. τῆς δ' ἐν Αἰγὸς ποταμοῖς ναυμαχίας γε-
νομένης καὶ τῶν τριάκοντα παραλαβόντων τὴν πόλιν, ἐξέπεσεν
ἑπτὰ ἔτη μείνας, ἀφαιρεθεὶς τὴν οὐσίαν καὶ τὸν ἀδελφὸν Πο-